Ἀπατούριος. Παρμένων. Βυζάντιοι.

ἔμποροι. Βυζ. Διαιτηταί

Ὑπόθεσις.

Δημοσθ.
Πρὸς Ἀπατούριον παραγραφή.
Τ. Β΄. σ388 – 400.

Ὁ παραγραφόμενος τὴν δίκην ἰδίᾳ μέν τινα συμβόλαια πρὸς Ἀπατούριον ἔχων ἄφεσιν ἐπ' αὐτοῖς καὶ ἀπαλλαγὴν ἐποιήσατο, νῦν δ' ὑπὲρ Παρμένοντος ἐγκαλεῖται ϗ ἀπαιτεῖται χρήματα. ὁ γὰρ Παρμένων πολίτης μὲν ὢν τοῦ ἐμπόρου τοῦ Ἀπατουρίου Βυζάντιος, φυγὼν δ' ἐκ τῆς πατρίδος κατεδεδίκαστο. φίλῳ δὲ κατ' ἀρχὰς τῷ Ἀπατουρίῳ χρώμενος, ὕστερον προσκρούσας [illegible] ἦλθε, ϗ ἐδίωκε τὸν Ἀπατούριον πληγῶν [illegible], κἀκεῖνος αὖθις τὸν Παρμένοντα δίκην [illegible] ὁ μὲν [illegible] Ἀπατούριος ἑνὶ διαιτητῇ τὸ πρᾶγμα ἐπιτρέψαι φησὶν Ἀριστοκλεῖ, κἀκεῖνον καταγνῶναι τοῦ Παρμένοντος· διόπερ ἐπὶ τοῦτον ἥκει τὸν νῦν παραγραφόμενον τὴν δίκην, ἐγγυητὴν τοῦ Παρμένοντος γεγενῆσθαι φάσκων. ὁ δ' οὐδὲν τούτων ὁμολογεῖ, ἀλλὰ πρῶτον μέν φησι τρισὶν αὐτοὺς ἐπιτρέψαι διαιτηταῖς, οὐχ ἑνὶ τῷ Ἀριστοκλεῖ, ἔπειτ' ἐγγυητὴν τοῦ Παρμένοντος ἐν ταῖς συνθήκαις Ἀρχιππον γραφῆναι, κἀκείνας δ' ἀφανισθῆναι τὰς συνθήκας κακουργίᾳ τοῦ Ἀπατουρίου πείσαντος τὸν Ἀριστοκλέα τὸν ἔχοντ' αὐτὰς μὴ κομίζειν εἰς μέσον, ἀλλὰ λέγειν ὡς ἀπολώλεκε τὸ γραμματεῖον καθεύδων ὁ παῖς· ἑτέρας δ' οὐκέτι γραφῆναι συνθήκας, τὸ ἐπιτραπῆναι τὸ πρᾶγμα

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Β

Ἀπατούριος Παρμένων

230 α

διαίτῃ, τῆς μὲν πρότερον ἀναιρεθείσης τῇ τῶν συνθηκῶν ἀπωλείᾳ, δευτέρας δὲ μηδὲ συμβιβασθείσης αὐτοῖς τὸν δ' Ἀριστοκλέα παρὰ πάντα τὰ δίκαια κατὰ τοῦ Παρμένοντος ἀποφήνασθαι μηδ' ὄντα διαιτητήν, καὶ ταῦτ' ἀποδημήσαντός τε τοῦ Παρμένοντος κατὰ συμφορὰν μεγάλην, καὶ ἀπηγορευκότος αὐτῷ μὴ διαιτᾶν. Ταῦτ' οὖν ὁ τὴν δίκην φεύγων προτείνεται τὰ δίκαια, καὶ παραγράφεται τὸν ἀγῶνα λέγων ἐπὶ μὲν τοῖς γενομένοις αὐτῷ πρὸς Ἀπατούριον συμβολαίοις ἄφεσιν ποιήσασθαι, ὕστερον δ' οὐδὲν ἄλλο γεγονέναι συμβόλαιον, περὶ δὲ τῶν τοιούτων τοὺς νόμους μὴ διδόναι δικάζεσθαι.

κεῖται ὁ λόγος Πρὸς Ἀπατούριον σελ. 389-400.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ